σαν οἱ ἐπισκεπέντες ὀκτακισχίλιοι πεντακόσιοι ὀγδοήκοντα. [49]διὰ 49
φωνῆς κυρίου ἐπεσκέψατο αὐτοὺς ἐν χειρὶ Μωυσῆ ἄνδρα κατ᾽
ἄνδρα ἐπὶ τῶν ἔργων αὐτῶν καὶ ἐπὶ ὧν αἴρουσιν αὐτοί· καὶ ἐπε-
σκέπησαν, ὃν τρόπον συνέταξεν κύριος τῷ Μωυσῇ.
[1]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [2]Πρόσταξον τοῖς 5
υἱοῖς Ισραηλ καὶ ἐξαποστειλάτωσαν ἐκ τῆς παρεμβολῆς πάντα λε-
πρὸν καὶ πάντα γονορρυῆ καὶ πάντα ἀκάθαρτον ἐπὶ ψυχῇ· [3]ἀπὸ 3
ἀρσενικοῦ ἕως θηλυκοῦ ἐξαποστείλατε ἔξω τῆς παρεμβολῆς, καὶ
οὐ μὴ μιανοῦσιν τὰς παρεμβολὰς αὐτῶν, ἐν οἷς ἐγὼ καταγίνομαι
ἐν αὐτοῖς. [4]καὶ ἐποίησαν οὕτως οἱ υἱοὶ Ισραηλ καὶ ἐξαπέστειλαν 4
αὐτοὺς ἔξω τῆς παρεμβολῆς· καθὰ ἐλάλησεν κύριος τῷ Μωυσῇ,
οὕτως ἐποίησαν οἱ υἱοὶ Ισραηλ.
[5]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [6]Λάλησον τοῖς υἱοῖς 5 6
Ισραηλ λέγων Ἀνὴρ ἢ γυνή, ὅστις ἐὰν ποιήσῃ ἀπὸ τῶν ἁμαρτιῶν
τῶν ἀνθρωπίνων καὶ παριδὼν παρίδῃ καὶ πλημμελήσῃ ἡ ψυχὴ
ἐκείνη, [7]ἐξαγορεύσει τὴν ἁμαρτίαν, ἣν ἐποίησεν, καὶ ἀποδώσει τὴν 7
πλημμέλειαν τὸ κεφάλαιον καὶ τὸ ἐπίπεμπτον αὐτοῦ προσθήσει ἐπ᾽
αὐτὸ καὶ ἀποδώσει, τίνι ἐπλημμέλησεν αὐτῷ. [8]ἐὰν δὲ μὴ ᾖ τῷ 8
ἀνθρώπῳ ὁ ἀγχιστεύων ὥστε ἀποδοῦναι αὐτῷ τὸ πλημμέλημα
πρὸς αὐτόν, τὸ πλημμέλημα τὸ ἀποδιδόμενον κυρίῳ τῷ ἱερεῖ ἔσται
πλὴν τοῦ κριοῦ τοῦ ἱλασμοῦ, δι᾽ οὗ ἐξιλάσεται ἐν αὐτῷ περὶ αὐτοῦ.
[9]καὶ πᾶσα ἀπαρχὴ κατὰ πάντα τὰ ἁγιαζόμενα ἐν υἱοῖς Ισραηλ, ὅσα 9
ἂν προσφέρωσιν τῷ κυρίῳ τῷ ἱερεῖ, αὐτῷ ἔσται. [10]καὶ ἑκάστου 10
τὰ ἡγιασμένα αὐτοῦ ἔσται· ἀνὴρ ὃς ἐὰν δῷ τῷ ἱερεῖ, αὐτῷ ἔσται.
[11]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [12]Λάλησον τοῖς 11 12
υἱοῖς Ισραηλ καὶ ἐρεῖς πρὸς αὐτούς Ἀνδρὸς ἀνδρὸς ἐὰν παραβῇ
ἡ γυνὴ αὐτοῦ καὶ παρίδῃ αὐτὸν ὑπεριδοῦσα [13]καὶ κοιμηθῇ τις μετ᾽ 13
αὐτῆς κοίτην σπέρματος καὶ λάθῃ ἐξ ὀφθαλμῶν τοῦ ἀνδρὸς αὐτῆς
καὶ κρύψῃ, αὐτὴ δὲ ᾖ μεμιαμμένη καὶ μάρτυς μὴ ἦν μετ᾽ αὐτῆς
καὶ αὐτὴ μὴ ᾖ συνειλημμένη, [14]καὶ ἐπέλθῃ αὐτῷ πνεῦμα ζηλώσεως 14
καὶ ζηλώσῃ τὴν γυναῖκα αὐτοῦ, αὐτὴ δὲ μεμίανται, ἢ ἐπέλθῃ αὐτῷ
πνεῦμα ζηλώσεως καὶ ζηλώσῃ τὴν γυναῖκα αὐτοῦ, αὐτὴ δὲ μὴ ᾖ
μεμιαμμένη, [15]καὶ ἄξει ὁ ἄνθρωπος τὴν γυναῖκα αὐτοῦ πρὸς τὸν 15
ἱερέα καὶ προσοίσει τὸ δῶρον περὶ αὐτῆς τὸ δέκατον τοῦ οιφι
ἄλευρον κρίθινον, οὐκ ἐπιχεεῖ ἐπ᾽ αὐτὸ ἔλαιον οὐδὲ ἐπιθήσει ἐπ᾽
αὐτὸ λίβανον, ἔστιν γὰρ θυσία ζηλοτυπίας, θυσία μνημοσύνου

4 48 επεσκεμμενοι A | ογδοηκοντα] + και πεντηκοντα A† || 49 επεσκεψ.] pr. ους A†

5 2 παρεμβ.] συναγωγης A† || 3 μη > A || 4 αυτους > A† | τω > B† || 6 πλημμελησῃ] pr. πλημμελων B*† || 7 εποιησεν] ημαρτεν A || 8 ο > A | κυριω] pr. τω A | ιλασμου] εξιλ. A† || 9 κατα] και A | τω 1° > A || 10 εκαστω B* | ανηρ] pr. και AB$^c$ (in *O* sub ※) || 13 τις/μετ αυτης] tr. A† | η 1°] pr. μη A† | ην B†] η A | μετ 2°] κατ A || 15 προσοισει] οισει A†